# De accentibus (excerpta e Choerobosco, Aetherio, Philopono et aliis)

## Περὶ τόνων ἐκ τῶν Χοιροβοσκοῦ, Αἰθερίου, Φιλοπόνου καὶ ἑτέρων.

1.1 Πᾶν ὄνομα μονοσύλλαβον οὐδέτερον περισπᾶται, οἷον 20πᾶν, πῦρ, κῆρ, ἦρ, ὦς, φῶς, σταῖς, κρῖ, σκῶρ,20 καὶ αἱ κλητικαὶ τούτων· τῇ γὰρ εὐθείᾳ τῇ περισπωμένῃ ἕπονται καὶ αἱ κλητικαί. Περισπῶνται καὶ τὰ μονοσύλλαβα τῶν στοι χείων ὀνόματα 20μῦ, νῦ, ξῖ, πῖ, ῥῶ,20 καὶ τὰ λοιπά. Ἐν δὲ τοῖς ἀρσενικοῖς περισπᾶται τὸ 20Θρᾷξ20 καὶ τὸ 20βῶξ,20 ἐκ τοῦ 20Θράϊξ20 γὰρ καὶ τοῦ 20βόαξ·20 ὅμως ἡ συνήθεια ὀξύνει τὸ 20Θρᾴξ.20 Ἀπὸ τῶν εἰς σ ληγόντων περισπᾶται τὸ 20λᾶς, πᾶς, φθοῖς, εἷς·20 τὸ μέντοι δισύλλαβον 20οὐδείς20 καὶ 20μηδείς20 ὀξύνεται. 1.2 Περισπῶνται καὶ πάντα τὰ εἰς υς διὰ τοῦ υ ψιλοῦ μο νοσύλλαβα· 20μῦς, σῦς, ὗς·20 αἱ δὲ πλάγιαι τούτων βραχὺ ἔχουσι τὸ υ καὶ παροξύνονται· 20σύες, μύες,20 καὶ τὰ λοιπά· θηλυκὰ δὲ περισπῶνται ταῦτα· 20μνᾶ, γῆ, γραῦς, Κῶς ἡ20 νῆσος, 20βῶς20 τὸ σκουτάριον· 20δώς20 δὲ ἡ δωρεὰ καὶ 20κλείς20 ὀξύνονται· 20σῶς20 δὲ καὶ 20παῖς20 εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ περισπῶνται. Τὰ λοιπὰ πάντα μονοσύλλαβα ὀξύνονται· 20αἴξ, Πάν20 κύριον, 20φθείρ, Ζεύς, ῥήξ, μήν, χήν, σής, κτείς, θώψ, Τρώς, φώς20 ὁ ἀνήρ· ὀξύνονται καὶ τὰ μετοχικά· 20στάς, βάς· στάν, βάν.20 1.3 Τὰ εἰς ας κατ' ἀποβολὴν τοῦ σ κλινόμενα ἢ διὰ τοῦ ντ περισπῶνται· 20βορρᾶς βορρᾶ, Θωμᾶς Θωμᾶ, ἀλλᾶς ἀλλᾶντος,20 πλὴν τοῦ 20ἱμάς ἱμάντος20 καὶ 20ἀν δριάς ἀνδριάντος·20 ὀξύνονται καὶ αἱ μετοχαί· 20ἱστάς ἱστάντος, βιβάς βιβάντος.20 Ὅσα δὲ οὐ κατ' ἀποβολὴν τοῦ σ οὐδὲ διὰ τοῦ ντ κλίνονται, ὀξύνονται· 20ἐθάς ἐθάδος,20 καὶ τὰ θηλυκά· 20λαμπάς, τριάς.20 1.4 Τὰ εἰς αν ὑπὲρ μίαν συλλαβὴν ὀξύνονται· 20ὁ παιάν, ὁ Ἀλκμάν· ὦ παιάν· ὦ Ἀλκμάν·20 αἱ δὲ γενικαὶ τούτων προπερισπῶνται· 20τοῦ παιᾶνος, τοῦ Ἀλκμᾶνος.20 1.5 Τὰ εἰς εις διφθογγιζόμενα ἅπαντα ὀξύνονται· 20οὐδείς, μηδείς, καθείς20 καὶ αἱ μετοχαί· 20ὁ τυφθείς,20 πλὴν τοῦ 20εἷς20 μονοσυλλάβου, ὡς καὶ προείπομεν. 1.6 Τὰ εἰς ευς ἅπαντα ὀξύνονται· 20βασιλεύς, Πηλεύς·20 τούτων δὲ αἱ κλητικαὶ ἀποβάλλουσαι τὸ σ περι σπῶνται. 1.7 Τὰ εἰς ης, εἰ παρὰ τὸ 20κλέος20 συντέθεινται, περισπῶνται· 20Σοφοκλέης20 γὰρ 20Σοφοκλῆς,20 καὶ τὰ ὅμοια· περισπῶν ται καὶ ὅσα εἰς ου ἔχει τὴν γενικήν· 20Ἑρμῆς Ἑρμοῦ, Ἀπελλῆς Ἀπελλοῦ·20 τὰ δὲ παρὰ ταῦτα ὀξύνονται εἴτε ἀρσενικὰ εἴτε θηλυκά· 20ψευδής ψευδέος, ἀληθής ἀληθέος, προβλής προβλῆτος, ἀβλής ἀβλῆτος.20 1.8 Τὰ εἰς ους ἅπαντα περισπῶνται, πλὴν τοῦ 20πούς20 καὶ 20ὀδούς.20 1.9 Τὰ εἰς υς εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ ὀξύνονται· 20τρα χύς, βραδύς, ἰχθύς, χλαμύς, νηδύς.20 1.10 Τὰ εἰς ων διὰ τοῦ ντ κλινόμενα περισπῶνται· 20Ξενο φῶν Ξενοφῶντος, Χαιρεφῶν Χαιρεφῶντος,20 ὅτι καὶ ἀπὸ συναιρέσεως τὰ τοιαῦτα· εἰ δὲ ἑτέρως κλί νονται, ὀξύνονται· 20Τυφῶνος, ἡγεμόνος,20 πλὴν τοῦ 20Ποσειδῶν Ποσειδῶνος·20 συναιρεῖται γὰρ ἐκ τοῦ 20Ποσειδάων.20 Περισπῶνται δὲ καὶ οἱ δεύτεροι μέλλοντες ἐπὶ τῶν μετοχῶν· 20ὁ τυπῶν, ὁ λιβῶν.20 1.11 Τὰ εἰς ως ὀξύνονται· 20ἱδρώς, λαγώς·20 ὀξύνονται καὶ αἱ μετοχαί· ὁ 20πεποιηκώς, ὁ τετυφώς, ὁ ἑστώς·20 εἰ γὰρ καὶ συναιρεῖται τοῦτο, ἀλλ' οὐκ ἐξ ὀξείας καὶ βαρείας, ἀλλ' ἐκ βαρείας καὶ ὀξείας, διὸ πάλιν ὀξύνεται κατὰ τὸν κανόνα. 1.12 Οὐδὲν θηλυκὸν ἢ οὐδέτερον ὄνομα ὑπὲρ μίαν συλλαβὴν περισπᾶται ἀσυναίρετον ὄν, ἀλλὰ τὰ περισπασθέντα ἐκ συναιρέσεως περιεσπάσθη· 20συκία συκῆ, φακέα φακῆ·20 ὡσαύτως καὶ τὰ οὐδέτερα· 20ἀργύρεον ἀργυ ροῦν, χρύσεον χρυσοῦν·20 τὰ δὲ μὴ ἀπὸ συναι ρέσεως πάντα ὀξύνονται· 20ἡ Λητώ, ἡ λαμπάς, ἡ αἰδώς, τὸ ἑστάν, τὸ ζευγνύν·20 ὅσα δὲ θηλυκὰ ἢ οὐδέτερα ἀπὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀρσενικῶν ληγόντων εἰς ους, περισπῶνται· 20ἡ ἁπλῆ, τὸ ἁπλοῦν,20 ὅτι καὶ 20ἁπλοῦς,20 καὶ τὰ ὅμοια.

## 2.τ Περὶ ἐθνικῶν καὶ Ἑβραϊκῶν.

2.13 Τὰ ἐθνικὰ καὶ Ἑβραϊκὰ ὀνόματα μονόκλιτά εἰσι καὶ ὀξύνονται ἐπὶ πασῶν τῶν πτώσεων· 20ὁ Σαμψών τοῦ Σαμ ψών, ὁ Ἰακώβ τοῦ Ἰακώβ, ἡ Ἐσθήρ, ἡ Ἰοδήθ, ἡ Μαριάμ,20 καὶ τὰ λοιπά. 3.14 Αἱ εἰς ων λήγουσαι μετοχαὶ καὶ ἐπὶ τέλους ἔχουσαι τὸν τόνον οὕτω διαστέλλονται· ὧν μὲν αἱ γενικαὶ φύσει μακρᾷ παραλήγονται, τούτων αἱ εὐθεῖαι περισπῶνται· 20τοῦ τυποῦντος ὁ τυπῶν, τοῦ σπεροῦντος ὁ σπε ρῶν, τοῦ κτενοῦντος ὁ κτενῶν·20 ὧν δὲ ἐν τῇ παραλη γούσῃ τῆς γενικῆς εὑρίσκεται τὸ ο μετὰ τοῦ ντ, ὀξύ νονται· 20τοῦ λαβόντος ὁ λαβών, τοῦ εὑρόντος ὁ εὑρών.20 3.15 Αἱ μετοχικαὶ δοτικαὶ τῶν πληθυντικῶν πᾶσαι διχρόνῳ παραληγόμεναι προπερισπῶνται· 20τοῖς βᾶσι, τοῖς στᾶσι, τοῖς δεικνῦσι, τοῖς ζευγνῦσι,20 ἐπειδὴ κατὰ τὴν παραλήγουσαν ἰσοχρονεῖν θέλει ταῖς ἄλλαις πλαγίαις ἡ δοτικὴ τῶν πληθυντικῶν, ἐνίοτε δὲ καὶ μείζονα χρόνον θέλει ἔχειν, ὥστε καὶ τὸ 20ἀνδριᾶσι20 καὶ τὸ 20ἱμᾶσι20 προπερισπᾶται.

## 4.τ Περὶ τῶν πρὸ μιᾶς ἐχόντων τὸν τόνον.

1 4.16 Τὰ εἰς ας καθαρὰ ἀρσενικὰ πρὸ μιᾶς ἔχοντα τὸν τόνον ἅπαντα μακρὸν ἔχουσι τὸ ας καὶ παροξύνονται, οἷον 20Αἴας, Αἰνείας, Ποίας, κοίας,20 καὶ τὰ ὅμοια. 4.17 Ἕτερος κανών· τὰ εἰς ας ὀνόματα διὰ τοῦ τος κλινό 4.17 μενα μακρὸν ἔχουσι τὸ ας, πλὴν τῶν οὐδετέρων· 20κρέας, κέρας,20 σὺν τούτοις 20γέρας20 καὶ 20οὖδας.20 4.18 Αἱ εἰς ας μετοχαὶ μακροκαταληκτοῦσι καὶ παροξύνονται· 20ὁ ποιήσας, ὁ νείμας·20 ἀλλὰ καὶ αἱ κλητικαὶ τούτων· 20ὦ ποιήσας, ὦ νείμας·20 λέγει γὰρ ὁ κανών, ὅτι αἱ μετοχαὶ καὶ τὰ μετοχικὰ ὀνόματα τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητι κάς. Τὰ οὐδέτερα τούτων προπερισπῶνται· 20Τὸ ποιῆ σαν, τὸ λαλῆσαν.20 4.19 Τὰ εἰς ος τῷ α παραληγόμενα καὶ ἐπ' αὐτοῦ τὸν τόνον ἔχοντα παροξύνονται· 20κάρος, σκάρος, βάδος·20 τὸ 20πρᾶος20 μόνον προπερισπᾶται. 4.20 Τὰ εἰς ιξ βραχυκαταληκτοῦσι καὶ προπερισπῶνται· 20Φοῖνιξ, ἧλιξ, ὁμῆλιξ·20 σὺν τούτοις καὶ 20κῆρυξ20 διὰ τοῦ υ ψιλοῦ. 4.21 Τὰ διὰ τοῦ ιλος ὀνόματα δισύλλαβα παροξύνονται, οἷον 20φίλος, κτίλος, σπίλος·20 ὡσαύτως καὶ τὰ ὑπὲρ δύο συλ λαβάς· 20ποικίλος, ὀργίλος·20 ἔν τισι τὸ 20σπῖλος20 καὶ 20πῖ λος20 προπερισπώμενον ἐφεύρηται. 4.22 Τὰ διὰ τοῦ ινος ἅπαντα προπερισπῶνται· 20Κωνσταν τῖνος, Πλωτῖνος, Ἰουστῖνος·20 ἔν τισι τὸ 20πίνος ὁ20 ῥύπος παροξυνόμενον εὕρηται. Σημείωσαι, ὅτι τὸ 20καρ κίνος20 καὶ 20ἐχίνος20 ἡ συνήθεια παροξύνει. 4.23 Τὰ διὰ τοῦ ιτης ἅπαντα μακρὸν ἔχουσι τὸ ι· 20πολί της, ὁπλίτης,20 ὅθεν αἱ τούτων εὐθεῖαι τῶν πληθυντικῶν προπερισπῶνται· 20οἱ πολῖται, οἱ ὁπλῖται, οἱ Θερ σῖται·20 καὶ 20ἡ χρυσῖτις20 γῆ θηλυκόν. 4.24 Τὰ διὰ τοῦ ιος παροξύνονται· 20ἐναντίος, νυμφίος,20 πλὴν τοῦ 20δῖος20 καὶ 20Χῖος20 ἀνήρ. 4.25 Τὰ εἰς ος μὴ καθαρῷ τῷ ι παραληγόμενα καὶ ἐπ' αὐτοῦ τὸν τόνον ἔχοντα παροξύνονται· 20τρίτος, κρίκος,20 καὶ τὰ λοιπά, πλὴν τοῦ 20σῖτος, ἶσος, μῖμος, γρῖφος· ἡ20 συνήθεια παροξύνει τὸ 20γρίφος.20 4.26 Τὰ εἰς ιν καὶ εἰς ις δικατάληκτα μακρὸν ἔχουσι τὸ ι καὶ ἐπὶ τῆς γενικῆς προπερισπῶνται· 20δελφῖνος, ἀκτῖνος·20 τὰ δὲ μονοσύλλαβα τούτων ὀξύνονται μὲν ἐν τῇ γενικῇ καὶ δοτικῇ, ἐν δὲ ταῖς ἄλλαις πτώσεσιν, ἔνθα τὸν τόνον ἡ πα ραλήγουσα δέχεται καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βραχεῖά ἐστιν ἡ λήγουσα, προπερι σπῶνται· 20ῥίν ῥινός, ῥῖνα ῥῖνε ῥῖνες ῥῖνας·20 οὕτω καὶ ἐπὶ τῶν ὁμοίων. Διὰ τοῦτο οὐδὲ τὸ 20εὔριν20 προ περισπᾶται, ἐπειδὴ τὸ ι μακρόν ἐστιν. 4.27 Τὰ εἰς υξ προπερισπῶνται, εἰ μακρᾷ παραλήγονται, οἷον 20δοῖδυξ.20 4.28 Τὰ εἰς ος τῷ υ μὴ καθαρῶς παραληγόμενα καὶ ἐπ' αὐτοῦ τὸν τόνον ἔχοντα παροξύνονται· 20κύβος, λύ γος, στύλος, Κύρος20 κύριον, πλῆν τοῦ 20κῦρος20 ἡ ἐξου σία οὐδέτερον, 20μῦθος, θῦμος, τῦφος·20 ἡ δὲ συνήθεια ὀξύνει τὸ 20τύφος.20 Τὰ διὰ τοῦ υνος προπερισπῶνται· 20φρῦνος, θῦνος.20

## 5.τ Περὶ θηλυκῶν. 5.29

Τὰ διὰ τοῦ αια θηλυκά, εἰ μὲν ἐξ ὀνόματος γένων ται, ἐκτείνουσι τὸ α καὶ παροξύνονται, οἷον 20δίκη δι καία, σελήνη σεληναία, εὐκταία20 ἀπὸ τοῦ 20εὐχή, ἀπευκταία, περικεφαλαία20 ἀπὸ τοῦ 20κεφαλή, δειλαία20 ἀπὸ τοῦ 20δειλός, κεραία20 ἀπὸ τοῦ 20κέρας·20 σὺν τούτοις καὶ 20ἐλαία20 καὶ 20νεολαία20 ἡ πληθύς· εἰ δὲ μὴ ἐξ ὀνομάτων παράγονται, βραχυκαταληκτοῦσι καὶ προπερι σπῶνται, οἷον 20μαῖα, γαῖα, γραῖα, αἶα,20 καὶ 20Μαῖα20 τὸ κύριον. 5.30 Ἁπλῶς ὅσα ἀπὸ ῥήματος γίνονται, βραχὺ ἔχουσι τὸ α καὶ προπερισπῶνται, εἰ μακρὰ παραλήγεται, οἷόν ἐστι τὸ 20Μοῦσα20 ἐκ τοῦ μῶ τὸ ζητῶ, 20βῆσσα20 ἐκ τοῦ βῶ, καὶ 20νῆσσα20 ἐκ τοῦ νῶ, καὶ 20ἧσσα20 ἐκ τοῦ ἡσσῶ· σὺν τούτοις καὶ τὰ μετοχικά, ὡς ἀπὸ ῥήματος καὶ αὐτά· 20σχοῦσα, τετυ φυῖα, πεποιηκυῖα·20 σὺν αὐτοῖς 20στᾶσα, βᾶσα,20 καὶ τὰ ὅμοια προπερισπῶνται. Τούτοις ἠκολούθησε καὶ τὸ 20πᾶσα.20 5.31 Ἕτερος κανὼν λέγει· τὰ εἰς α λήγοντα θηλυκὰ εἰ ἔχει τὴν παραλήγουσαν διὰ διχρόνου, ἐκτείνει αὐτό· διὸ καὶ προ περισπῶνται 20πᾶσα, στᾶσα, τλᾶσα, γνοῦσα, δει κνυοῦσα· πρύμνα20 δέ, 20πυράγρα20 ὀξεῖαν ἔχουσιν, ὡσαύ τως καὶ τὰ εἰς διπλοῦν λήγοντα· 20ῥίζα, σχίζα, μύξα.20 5.32 Τὰ εἰς ρα θηλυκὰ πρὸ μιᾶς ἔχοντα τὸν τόνον, εἰ μὲν διφθόγγῳ παραλήγονται, προπερισπῶνται, οἷον 20σφαῖρα, μοῖρα, στεῖρα·20 εἰ δὲ μονοφθόγγῳ παραλήγονται, παροξύνονται· 20Ἥρα, χήρα, χώρα, ὥρα·20 καὶ τὰ διχρόνῳ παραληγόμενα· 20λύρα, θύρα, σφύρα.20 5.33 Τὰ διὰ τοῦ εια θηλυκὰ μακρὸν ἔχουσι τὸ α, κἂν ἀπὸ τῶν διὰ ευω ῥημάτων γένων ται, οἷον τὸ 20πρεσβεία20 καὶ τὸ 20δουλεία,20 πλὴν εἰ μὴ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν διὰ τοῦ εος κλινο μένων γίνονται· τὰ τοιαῦτα βραχὺ ἔχουσι τὸ α καὶ εἰκότως περισπῶνται. 5.34 Τὰ εἰς ας ὀξύνονται θηλυκὰ καὶ διὰ τοῦ δος κλί νονται· 20μονάς, τριάς, λαμ πάς· τῆς μονάδος, τῆς λαμπάδος, τῆς τριάδος.20 5.35 Τὰ εἰς ις θηλυκὰ μακρᾷ παραληγόμενα προπερισπῶν ται· 20ῥῆσις, λῆξις20 καὶ 20θραῦ σις·20 εἰ δὲ διχρόνῳ παραλήγεται, βραχὺ ἔχει τὸ δίχρονον καὶ παροξύνονται· 20τάσις, φρά σις, κλίσις,20 καὶ τὰ λοιπὰ πάντα, πλὴν τοῦ 20ῥῦσις, λῦ σις, πρᾶξις, χᾶτις20 καὶ 20πρᾶσις·20 τοῦτο ἡ συνήθεια παροξύνει. 5.32βις ἔτι παροξύνονται καὶ τὸ 20οὐ ρήθρα, δακτυλήθρα.20 Τὰ τῇ αυ διφθόγγῳ παρα ληγόμενα παροξύνονται· 20σαύ ρα, λαύρα, αὔρα20 ἡ δούλη· 20αὖρα20 δὲ ἡ λεπτοτάτη πνοὴ περισπᾶται· σὺν τούτοις καὶ τὸ 20Φαίδρα20 κύριον. 5.33βις Τὰ διὰ τοῦ ια θηλυκὰ παροξύνονται, οἷον 20κοιλία20, καὶ τὰ διφθόγγῳ παραληγό μενα, οἷον 20θεία, χρεία,20 καὶ τὰ ἀπὸ τῶν ευω, οἷον 20πρε σβεύω πρεσβεία,20 καὶ τὰ ὅμοια. Τὰ δὲ εἰς α θηλυκὰ παρε σχηματισμένα ἀρσενικοῖς τῇ γενικῇ τούτων ἰσοχρονεῖ· καὶ εἰ μὲν ἡ γενικὴ εἰς μακρὸν λήγει, καὶ τὸ α μακρὸν ἔχει τὸ θηλυκὸν καὶ παροξύνεται· εἰ δὲ ἡ γενικὴ τοῦ ἀρσενικοῦ εἰς βραχὺ λήγει, καὶ αὐτὸ τὸ θηλυκὸν βραχὺ ἔχει τὸ α καὶ προπερισπᾶται, οἷον 20ὀξύς ὀξέος ὀξεῖα, γλυκύς γλυ κέος γλυκεῖα·20 ἡ γὰρ γενικὴ τοῦ ἀρσενικοῦ εἰς βραχὺ λή γει καὶ διὰ τοῦτο καὶ αὐτὸ βραχύ ἐστι καὶ προπερισπᾶται· τὸ δὲ 20θεῖος θείου θεία20 καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

20ἀστεῖος ἀ στείου ἀστεία20 παροξύ νονται, διότι ἡ γενικὴ τοῦ ἀρσενικοῦ εἰς ου λήγει. Σημείωσαι, ὅτι ἡ 20γενναῖα20 καὶ 20ἡ σπουδαῖα20 καὶ 20τὰ γενναῖα20 προπερισπῶνται. 5.35βις Τὰ εἰς ις θηλυκὰ πρὸ μιᾶς συλλαβῆς ἔχοντα τὸν τό νον καὶ μακρὰ παραληγόμενα προπερισπῶνται· 20μῆνις, ῥῆ σις, καῦσις,20 καὶ ἡ αἰτιατικὴ 20τὴν μῆνιν, τὴν ῥῆσιν, τὴν καῦσιν·20 λέγει γὰρ ὁ κανών· πᾶσα αἰτιατικὴ εἰς ν λήγουσα τῇ ἰδίᾳ εὐθείᾳ ὁμο τονεῖν θέλει καὶ ὁμοχρονεῖν, καὶ αἱ κλητικαί· 20ὦ μῆνις, ὦ ῥῆσις·20 καὶ ὁ κανών· τὰ εἰς ις λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. Τὰ εἰς ις διχρόνῳ παραλη γόμενα παροξύνονται· 20τάσις, βάσις,20 πλὴν τοῦ 20ῥῦσις, λῦσις, πρᾶξις20 καὶ 20πρᾶ σις·20 τοῦτο ἡ συνήθεια παρο ξύνει. Εὗρον καὶ τὸ 20μῦσις20 παρά τισι περισπώμενον. 5.36 20Ἡ Χίος, ἡ Κίος, ἡ Τίος20 παροξύνονται. 20Χῖος20 δὲ ἀνὴρ προπερισπᾶται. 5.37 Τὰ διὰ τοῦ ινη θηλυκὰ ἐκτείνουσι τὸ ι· 20κλίνη, ὑσμίνη, ἡρωίνη·20 καὶ αἱ τούτων εὐ θεῖαι τῶν πληθυντικῶν προ περισπῶνται· 20ὑσμῖναι, κλῖ ναι, ἡρωῖναι,20 καὶ τὰ ὅμοια. 20δωτίνη·20 τὰ κύρια 20Στρατο νίκη, Βερονίκη·20 αἱ γοῦν θηλυκαὶ τούτων εὐθεῖαι ὡς βραχυκατάληκτοι περισπῶν ται· 20αἱ ὑσμῖναι, αἱ κλῖ ναι, αἱ ἡρωῖναι.20 Αἱ διὰ τοῦ ινος γενικαὶ 20ἀκτῖνος, Σαλαμῖνος20 προ εγράφησαν ἐν τοῖς ἀρσενικοῖς, ἤγουν ἐν τοῖς 20δελφῖνος, ἑρμῖνος·20 ταῦτα δὲ περι σπῶνται. 5.38 Τὰ εἰς ις ὀξύτονα διὰ τοῦ δος κλινόμενα δισύλλαβα ὄντα καὶ παραληγόμενα τῷ η μακροκατάληκτά εἰσι καὶ προπερισπῶνται ἐν τῇ γενικῇ, οἷον 20κηλίς κηλῖδος, ψηφίς ψηφῖδος·20 ὅσα δὲ δισύλλαβα μὴ τῷ η παραλή-γωνται ἐν τῇ γενικῇ, παροξύνονται· 20ῥανίς ῥανίδος, βο λίς βολίδος·20 καὶ τῶν ὑπὲρ δύο συλλαβάς, ὅσα ἀπὸ δοτικῆς συστέλλονται· 20Αἰθίοπι Αἰθιοπίς,20 καὶ 20Πέλοπι Πελο-πίς.20 Οἱ καθ' ἡμᾶς γραμματικοὶ ὡς ἐπὶ τὸ πολὺ μόνα τὰ τὴν παραλήγουσαν ἔχοντα φύσει μακρὰν ἐκτείνουσι καὶ τὰς τούτων γενικὰς προπερισπῶσιν· 20αἰγῖδος, σφραγῖδος, καταιγῖδος·20 φύσει μακρὸν εἴπομεν διὰ τὸ 20ἀτμίδος, βαλ-βίδος.20 5.39 Τὰ διὰ τοῦ υνη δισύλλαβα μακρὸν ἔχουσι τὸ υ, οἷον 20φρύνη, αἱ φρῦναι·20 λοιπὸν προπερισπᾶται, καὶ τὰ ὅμοια· τῶν δὲ ὑπὲρ δύο συλλαβάς, ὅσα μὲν ἔχει πρὸ τοῦ υ τὸ σ, μακρὸν αὐτὸ ἔχει· 20βριθοσῦναι20 ἄρα καὶ 20γηθοσῦναι,20 καὶ τὰ ὅμοια προπερισπῶνται· εἰ δὲ μὴ τὸ σ ἔχουσι πρὸ τοῦ υ, συνεσταλμένον αὐτὸ ἔχουσι· 20αἱ κορύναι, αἱ τορύναι, αἱ αἰσχύναι,20 καὶ τὰ ὅμοια παροξύνονται. 5.40 Τῶν εἰς υς ὀξυτόνων τὰ εἰς δος κλινόμενα βραχὺ ἔχει τὸ υ καὶ ἐπὶ τῆς γενικῆς· διὰ τοῦτο τῆς 20χλαμύδος20 τὸ μυ βραχύ ἐστι καὶ παροξύνεται. Τὸ 20ἰσχύος, Ἐριν-νύος, πληθύος20 παροξύνονται, καὶ ὁ κανών· τὰ εἰς υς ἐπὶ τέλους ἔχοντα τὸν τόνον καὶ διὰ καθαροῦ τοῦ ος κλινόμενα τὸ δίχρονον ἐπὶ τῆς γενικῆς συστέλλουσιν ἀεί, καὶ ἐπὶ τῶν ἄλλων πτώσεων ἔν τε μονοσυλλάβοις καὶ ἐν τοῖς ὑπὲρ μίαν συλλαβήν· 20σῦς συός, οἱ σύες· μῦς μυός, οἱ μύες· αἱ δρύες, αἱ ὀσφύες,20 καὶ τὰ ὅμοια.

## 6.τ Περὶ οὐδετέρων.

1 6.41 Τὰ εἰς μα δισύλλαβα οὐδέτερα τῷ υ ψιλῷ παρα-ληγόμενα συστέλλει αὐτό· 20χύμα, πλύμα,20 πλὴν τοῦ 20κῦμα, θῦμα, φῦμα.20 6.42 20Γῆρας, οὖδας, οὖας,20 καὶ τὰ ὅμοια προπερισπῶν-ται, καὶ ὁ κανών· τὰ εἰς ας οὐδέτερα συστέλλει τὸ α. 6.43 Τὰ εἰς αρ οὐδέτερα προπερισπῶνται· 20ἦπαρ, οὖθαρ, εἶλαρ, πῖαρ·20 σὺν τούτοις καὶ τὸ 20εἶθαρ20 ἐπίρρημα ἀντὶ τοῦ εὐθέως. 6.44 Τὰ εἰς ος δισύλλαβα οὐδέτερα τῷ α παραληγόμενα συστέλλει αὐτὸ καὶ παροξύνονται· 20χάος, φάος, νάπος, κράτος, λάχος,20 καὶ τὰ ὅμοια, πλὴν τοῦ 20πρᾶγος·20 τοῦτο γὰρ μακρὸν ἔχει τὸ α, ὡς ἐκ τοῦ πράσσω. 6.45 Τὰ διὰ τοῦ ιον ἅπαντα παροξύνονται· 20παιδίον, θριγγίον, κηπίον,20 καὶ τὰ ὅμοια. 6.46 Τὰ εἰς ον μὴ καθαρῷ τῷ ι παραληγόμενα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προπε-ρισπῶνται· 20κρῖνον, γρῖφον, ἶσον.20 6.47 Τὰ εἰς ος τῷ ι παραληγόμενα παροξύνονται· 20ξίφος, στίφος,20 πλὴν τοῦ 20δῖνος, σῖνος, πνῖγος, νῖκος, κλῖτος, μῖσος, λῖπος,20 καὶ 20μῦσος20 διὰ τοῦ υ ψιλοῦ γραφόμενον· τὸ δὲ 20ῥίγος20 ἡ συνήθεια παρο-ξύνει, κἂν οἱ ἀρχαῖοι προπερισπῶσι. 6.48 Τὰ εἰς υ λήγοντα οὐδέτερα συστέλλει αὐτό, ὥστε τὸ 20πῶυ, μῶλυ,20 καὶ τὰ ὅμοια προπερισπῶνται. 6.49 Τὰ διὰ τοῦ υλον οὐδέτερα προπερισπῶνται· 20σκῦλον, φῦλον20 τὸ γένος, 20σῦλον20 τὸ κλέμμα, πλὴν τοῦ 20ξύλον20 καὶ 20φύλλον.20 6.50 Τὰ εἰς ος τῷ υ παραληγόμενα προπερισπῶνται· 20μῦσος, κῦτος, σκῦτος, φῦκος· ψύχος20 δὲ καὶ 20τρύχος20 παροξύνονται. 6.51 Τὰ διὰ τοῦ αον οὐδέτερα ἀπὸ τῆς αι διφθόγγου γινό-μενα μακρὸν ἔχουσι τὸ α καὶ προπερισπῶνται· 20τὸ κλαῖον τὸ κλᾶον, τὸ καῖον τὸ κᾶον.20

## 7.τ Περὶ ῥημάτων.

1 7.52 Τῶν διὰ τοῦ ανω ῥημάτων τὰ ὑπὲρ δύο συλλαβὰς ὄντα βραχύνονται· 20μανθάνω, τυγχάνω,20 ὥστε καὶ τὰ οὐδέ-τερα, 20τὸ μανθάνον, τὸ τυγχάνον,20 καὶ τὰ ὅμοια παρ-οξύνονται· τὸ δὲ 20ἱκᾶνον20 καὶ τὸ 20κιχᾶνον20 παραλόγως μακρὸν ἔχουσι τὸ α καὶ προπερισπῶνται· 20τὸ φθάνον20 καὶ τὰ λοιπὰ δισύλλαβα παροξύνονται. Λέγει γὰρ ὁ κανών· εἰ μέντοι περισπῷτο ὁ μέλλων, καὶ τὴν παραλήγουσαν αὐτοῦ ἐκτείνει ὁ ἀόριστος· τὰ γοῦν ἀπαρ-έμφατα τούτων προπερισπῶνται· 20φᾶναι, λιπᾶναι,20 καὶ τὰ ὅμοια· σὺν τούτοις καὶ τὸ 20δρᾶναι ἀποδρᾶναι· φάναι20 δὲ ἀντὶ τοῦ εἰπεῖν παροξύνεται, καὶ 20ἱστάναι·20 τὸ στα βραχὺ γὰρ ἔχει κατ' ἀκολουθίαν τοῦ 20τιθέναι, διδό-ναι·20 ἀλλὰ δὴ καὶ τὸ 20ζευγνύναι, δεικνύναι.20 7.53 20Γελάω γελάσω20 βραχέα τὰ δίχρονα· διὰ τί; Ἡνίκα ἔχει ὁ ἐνεστὼς τὸ α, τότε καὶ ὁ μέλλων διὰ βραχέος τοῦ α ἐκφέρεται· 20γελάω γελάσω, πελάω πελάσω·20 ἐκ τοῦ μέλλοντος λοιπὸν καὶ ὁ ἀόριστος τῶν τοιούτων βραχύνεται κατὰ τὴν παραλήγουσαν, καὶ παροξύνεται ἐν τοῖς ἀπαρεμφά-τοις· 20ἐγέλασα γελάσαι, ἔθλασα θλάσαι·20 λέγει γὰρ ὁ κανών· καθόλου ὁ ἀόριστος μακρᾷ παραλήγεται, εἰ μὴ ἀπὸ τοῦ μέλλοντος ἔχει τὸ βραχύ. Ἐπιγνοίης δὲ τὸν μέλλοντα βραχείᾳ παραληγόμενον ἐκ τοῦ παθητικοῦ παρακειμένου ἔχοντος τὸ σ πρὸ τῆς τελευταίας συλλαβῆς· 20ἡτοίμασμαι, οὔτασμαι, πέφρασμαι, γεγέλασμαι·20 λέγει γὰρ ὁ κανών· βραχείας οὔσης τῆς παραληγούσης τοῦ μέλλοντος προσλαμβάνει ὁ παθητικὸς παρακείμενος τὸ σ. 7.54 20Κρίνω κρινῶ,20 ὁ ἀόριστος 20ἔκρινα20 καὶ τὸ ἀπαρέμ-φατον 20κρῖναι·20 οὕτως καὶ τὸ 20κλῖναι, σῖναι·20 λέγει γὰρ ὁ κανών· εἰ μέντοι περισπῷτο ὁ μέλλων, καὶ τὴν παραλήγου-σαν ἐκτείνει ὁ ἀόριστος. Τούτοις ἀκολουθεῖ καὶ τὸ 20γερᾶραι20 καὶ 20ἆραι,20 καὶ τὰ παραπλήσια. Καὶ τὰ προστακτικὰ δὲ τοῦ πρώτου ἀορίστου ὑπόκειται τῷ κανόνι καὶ προπερισπᾶται· 20κρῖνον20 καὶ 20κλῖνον,20 καὶ 20ἆρον20 καὶ τὰ τοιαῦτα. 7.55 Τὸ 20φωτίσαι, ἁγνίσαι, ἁγιάσαι20 παροξύνονται, ἐπειδὴ κατὰ τὴν τοῦ μέλλοντος παραλήγουσαν, βραχεῖαν οὖσαν, ἔστι καὶ ἡ τοῦ ἀορίστου βραχεῖα· ὅτι δὲ ἡ τοῦ μέλλοντος τοιαύτη, δῆλον ἐκ τοῦ παθητικοῦ παρακειμένου τὸ σ ἔχοντος πρὸ τῆς ἐσχάτης συλλαβῆς· 20πεφώτισμαι, ἥγνισμαι, ἡγίασμαι.20 7.56 Τὰ διὰ τοῦ ιω ῥήματα ὑπὲρ δύο συλλαβὰς συστέλλουσι τὸ ι· 20κυλίω, ἐσθίω· τὸ κυλίον, τὸ ἐσθίον,20 καὶ τὰ τοιαῦτα παροξύνονται· ἀλλὰ καὶ τὸ 20κυλίσω20 καὶ τὸ 20μηνίσω20 βραχεῖαν ἔχουσι τὴν παραλήγουσαν· καὶ δῆλον ἐκ τοῦ παθητικοῦ παρακειμένου κατὰ τὸν κανόνα τὸ σ προσλαμ-βάνοντος, ὥστε καὶ τὸ 20κυλίσαι20 καὶ 20μηνίσαι20 ἀπαρέμφατα παροξύνονται. Τὸ 20τίω20 δισύλλαβον μακρὸν ἔχει τὸ ι, ὅθεν καὶ τὸ 20τῖον20 προπερισπᾶται· σὺν δὲ καὶ τὸ 20τῖσαι20 ἀπαρέμφατον. 7.57 20Ὀτρύνω, ἀλγύνω,20 καὶ τὰ τοιαῦτα μακρὸν ἔχουσι τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δίχρονον· καὶ γὰρ τούτων ὁ μέλλων 20ὀτρυνῶ20 καὶ 20ἀλγυνῶ.20 Καὶ ὁ ἀόριστος ἄρα κατὰ τὸν κανόνα μακρὰν ἔχων τὴν παραλήγουσαν τὸ οἰκεῖον ἀπαρέμφατον προπερισπᾷ· 20ὀτρῦναι,20 καὶ τὰ τοιαῦτα· σὺν τούτοις καὶ τὸ 20δῦναι20 καὶ 20ὀξῦναι,20 καὶ τὸ 20δῦνον20 καὶ 20ὀξῦνον20 προπερισπῶνται. Τὸ 20ζευγνύναι20 παροξύνεται· βραχὺ γὰρ ἔχει τὸ γνυ, κατὰ τὴν ἀκολουθίαν φησὶ τοῦ 20διδόναι.20 7.58 20Ὀρύσσω, ἀμύσσω20 καὶ 20ὀρύξαι, ἀμύξαι,20 καὶ τὰ ὅμοια παροξύνονται. 7.59 Τὰ διὰ τοῦ υω ῥήματα μακρᾷ παραλήγονται· 20κωλύω, μηνύω, μύω, θύω.20 Οἱ μὲν παλαιοὶ μακρὰ ἔχοντες τὰ ἐκ τούτων ἀπαρέμφατα, οἷον τὸ 20μηνῦσαι, κωλῦσαι, μῦσαι,20 καὶ τὰ οὐδέτερα προπερισπῶσιν· ἡ δὲ τῶν νεωτέρων συνήθεια πάντα ταῦτα παροξύνει, πλὴν τῶν ἀπὸ τοῦ 20θύω20 καὶ 20λύω20 καὶ 20ῥύομαι·20 τὰ γὰρ ἀπὸ τούτων προπερισπῶσιν.

## 8.τ Περὶ τῶν πρὸ δύο συμφώνων διχρόνων.

1 8.60 Τὰ δίχρονα, ὅτε τούτων ἔμπροσθεν κεῖνται δύο σύμφωνα, ὀξεῖαν ἔχουσιν ἐπὶ πάσης λέξεως· 20ἄλλος, ὕλλος, ἴλλος, ὕβρις, φύλλον, κάλλος, ἅλμα, τρίμμα, τὸ ἄρχον, τὸ τίκτον,20 καὶ τὰ ὅμοια, πλὴν τοῦ 20μᾶλ-λον, θᾶττον, ἆθλον· ἄεθλον20 γάρ· 20ᾇσμα, ὗθλος, πῦργος.20



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.